εἰς τὸ αὐτό

[illegible]

[illegible]

γέθους. ἔστω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Γ, ὧν μεῖζον τὸ
ΑΒ· λέγω ὅτι ἐὰν ἀπὸ τοῦ ΑΒ ἀφαιρεθῇ μεῖζον ἢ τὸ
ἥμισυ καὶ τοῦ καταλειπομένου μεῖζον ἢ τὸ ἥμισυ καὶ
τοῦτο ἀεὶ γίνηται, λειφθήσεταί τι μέγεθος ὃ ἔσται ἔ-
λασσον τοῦ Γ μεγέθους. τὸ Γ γὰρ πολλαπλασιαζόμε-
νον ἔσται ποτὲ τοῦ ΑΒ μεγέθους μεῖζον. πεπολλα-
πλασιάσθω καὶ ἔστω τὸ ΔΕ, τοῦ μὲν Γ πολλαπλάσιον,
τοῦ δὲ ΑΒ μεῖζον· καὶ διῃρήσθω τὸ ΔΕ εἰς τὰ τῷ Γ ἴσα
τὰ ΔΖ, ΖΗ, ΗΕ· καὶ ἀφῃρήσθω ἀπὸ μὲν τοῦ ΑΒ μεῖζον
ἢ τὸ ἥμισυ τὸ ΒΘ, ἀπὸ δὲ τοῦ ΑΘ μεῖζον ἢ τὸ ἥμισυ
τὸ ΘΚ, καὶ τοῦτο ἀεὶ γινέσθω ἕως ἂν αἱ ἐν τῷ ΑΒ διαι-
ρέσεις ἰσοπληθεῖς γένωνται ταῖς ἐν τῷ ΔΕ διαι-
ρέσεσιν. ἔστωσαν οὖν αἱ ΑΚ, ΚΘ, ΘΒ διαιρέσεις ἰσο-
πληθεῖς οὖσαι ταῖς ΔΖ, ΖΗ, ΗΕ· καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΔΕ
τοῦ ΑΒ, καὶ ἀφῄρηται ἀπὸ μὲν τοῦ ΔΕ ἔλασσον τοῦ
ἡμίσεως τὸ ΕΗ, ἀπὸ δὲ τοῦ ΑΒ μεῖζον τοῦ ἡμίσεως
τὸ ΒΘ, λοιπὸν ἄρα τὸ ΗΔ λοιποῦ τοῦ ΘΑ μεῖζόν ἐστι.
καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΗΔ τοῦ ΘΑ, καὶ ἀφῄρηται τοῦ μὲν
ΗΔ ἥμισυ τὸ ΗΖ, τοῦ δὲ ΘΑ μεῖζον τοῦ ἡμίσεως τὸ
ΘΚ, λοιπὸν ἄρα τὸ ΔΖ λοιποῦ τοῦ ΑΚ μεῖζόν ἐστιν.
ἴσον δὲ τὸ ΔΖ τῷ Γ· καὶ τὸ Γ ἄρα τοῦ ΑΚ μεῖζόν ἐστιν.
ἔλασσον ἄρα τὸ ΑΚ τοῦ Γ. κα-
ταλείπεται ἄρα ἀπὸ τοῦ ΑΒ
μεγέθους τὸ ΑΚ μέγεθος ἔ-
λασσον ὂν τοῦ ἐκκειμένου ἐ-
λάσσονος μεγέθους τοῦ Γ. ὅ-



BIBLIOTHECA BODLEIANA

6

περ ἔδει δεῖξαι. ὁμοίως δὲ δειχθήσεται κἂν ἡμίση
ᾖ τὰ ἀφαιρούμενα: + ἄλλως τὸ αὐτό:
ἔστω δύο μεγέθη ἄνισα τὰ ΑΒ, Γ, καὶ ἔστω ἔλασσον τὸ
Γ. ἐπεὶ τὸ Γ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ ΑΒ μεγέ-
θους μεῖζον, γεγονέτω ὡς τὸ ΖΜ, καὶ διῃρήσθω εἰς τὰ τῷ
Γ ἴσα τὰ ΜΘ, ΘΗ, ΗΖ· καὶ ἀπὸ τοῦ ΑΒ ἀφῃ-
ρήσθω μεῖζον ἢ τὸ ἥμισυ τὸ ΒΕ, καὶ ἀπὸ τοῦ ΕΑ μεῖζον ἢ
τὸ ἥμισυ τὸ ΕΔ, καὶ τοῦτο γινέσθω ἕως αἱ ἐν τῷ ΖΜ δι-
αιρέσεις ἴσαι γένωνται ταῖς ἐν τῷ ΑΒ διαιρέσεσιν. γε-
γονέτωσαν ὡς αἱ ΒΕ, ΕΔ, ΔΑ· καὶ τῷ ΔΑ ἕκαστον τῶν
ΚΛ, ΛΝ, ΝΞ ἔστω ἴσον· καὶ τοῦτο γινέσθω ἕως αἱ διαιρέσεις
τοῦ ΚΞ ἴσαι γένωνται ταῖς τοῦ ΖΜ. καὶ ἐπεὶ τὸ ΒΕ μεῖζον
ἢ τὸ ἥμισυ ἐστὶ τοῦ ΒΑ, τὸ δὲ ΒΕ μεῖζόν ἐστι τοῦ ΕΑ, πολ-
λῷ ἄρα μεῖζόν ἐστι τοῦ ΑΔ· ἀλλὰ τὸ ΑΔ ἴσον ἐστὶ τῷ ΞΝ·
τοῦ ΝΞ. πάλιν ἐπεὶ τὸ [illegible] δὲ μείζ
τὸ ΒΕ ἄρα μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ ἐστὶ τοῦ ΕΑ. μεῖζόν ἐστι
τοῦ ΑΔ· ἀλλὰ τὸ ΑΔ ἐστὶν ἴσον τῷ ΝΛ· τὸ ΕΔ ἄρα μεῖζον
ἐστὶ τοῦ ΝΛ. ὅλον ἄρα τὸ ΔΒ μεῖζόν ἐστι τοῦ ΞΛ. ἴσον δὲ
τὸ ΑΔ τῷ ΛΚ· ὅλον ἄρα τὸ ΒΑ μεῖζόν ἐστι τοῦ ΞΚ.
ἀλλὰ τοῦ ΒΑ μεῖζόν ἐστι τὸ ΜΖ· πολλῷ ἄρα τὸ ΜΖ μεῖζον
ἐστὶ τοῦ ΞΚ. καὶ ἐπεὶ τὰ ΞΝ, ΝΛ, ΛΚ ἴσα ἀλλήλοις ἐστίν, ἔστι
δὲ καὶ τὰ ΜΘ, ΘΗ, ΗΖ ἴσα ἀλλήλοις, καὶ ἔστιν ἴσον τὸ πλῆ-
θος τῶν ἐν τῷ ΜΖ ἴσον
τῷ πλήθει τῶν ἐν τῷ
ΞΚ, ἔστιν ἄρα ὡς ὁ ΚΛ
πρὸς ΖΗ, οὕτως τὸ ΚΞ
πρὸς ΖΜ. μεῖζον δὲ



λα ἀγ̄ γ̄

BIBLIOTHECA BODLEIANA